# ΜΟΣΧΟΥ ΑΠΟΣΠΑΣΜΑΤΑ

## I (V)

*Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὥνεμος ἀτρέμα βάλλῃ,*
*τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ*
*ἐντὶ φίλα, ποθίει δὲ πολὺ πλέον ἁ μεγάλα μ' ἅλς.*
*ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθὸς ἁ δὲ θάλασσα*
*κυρτὸν ἐπαφρίζῃ τὰ δὲ κύματα μακρὰ μεμήνῃ,*
*ἐς χθόνα παπταίνω καὶ δένδρεα τὰν δ' ἅλα φεύγω,*
*γᾶ δέ μοι ἀσπαστά, χἀ δάσκιος εὔαδεν ὕλα*
*ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὥνεμος ἁ πίτυς ᾄδει.*
*ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,*
*καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθύες ἁ πλάνος ἄγρα.*
*αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,*
*καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἆχον ἀκούειν*
*ἃ τέρπει ψοφέοισα τὸν ἄγρυπνον, οὐχὶ ταράσσει.*

## II (VI)

*Ἤρατο Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχὼ*
*σκιρτατᾶ Σατύρω, Σάτυρος δ' ἐπεμήνατο Λύδᾳ.*
*ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχὼ*
*καὶ Λύδα Σατυρίσκον· Ἔρως δ' ἐσμύχετ' ἀμοιβά.*
*ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,*